www.tezaurliturgic.ro

# Ὅσιος Ζήνων ὁ ταχυδρόμος

10 Φεβρουαρίου

*«Ζήνων τὰ τερπνὰ τῆς Ἐδὲμ ζητῶν μόνα,*
*εἰς τέρψιν εἶχε τὴν λύσιν τοῦ σαρκίου».*

ΤΑ τοῦ βίου αὐτοῦ γιγνώσκομεν ἐκ τῆς Φιλοθέου Ἱστορίας ἢ Ἀσκητικῆς πολιτείας τοῦ Θεοδωρήτου, Ἐπισκόπου Κύρου. Εἰς τὸν πρόλογον τῆς Ἱστορίας του ὁ Θεοδώρητος δηλοῖ, ὅτι θὰ ὁμιλήσῃ διὰ τοὺς μοναχοὺς τῆς Ἀνατολῆς, τοὺς ὁποίους ἐγνώρισεν ὁ ἴδιος ἢ ἤκουσε τὴν διήγησιν ἀπὸ αὐτόπτας μάρτυρας ἀξιοπίστους, τοὺς μοναχοὺς Ἀφράτ, Μακεδόνιον, ὅστις ἦτο καὶ ὁ πνευματικὸς πατὴρ τοῦ Ζήνωνος, ὃν ἐγνώρισε προσωπικῶς. Εἰς τὴν ἱστορίαν ταύτην ἀναγράφει ὅτι «Ζήνωνα τὸν θαυμάσιον οὐ πολλοὶ γιγνώσκουσι, οἱ δὲ γιγνώσκοντες θαυμάζειν ἀξίως οὐ δύνανται».

Κατὰ τὸν βιογράφον του, ὁ Ὅσιος Ζήνων κατήγετο ἐκ τοῦ Πόντου, ἐκ γονέων ἐνδόξων καὶ πλουσίων, ἦτο ἀξιωματικὸς εἰς τὴν Βασιλικὴν αὐλὴν τοῦ Οὐάλεντος (364-374 μ.Χ.) καὶ ταχυδρόμος τῶν Βασιλικῶν γραμμάτων.

Καίτοι δὲ ὁ Οὐάλης ὑπεστήριζε τοὺς ὀπαδοὺς τοῦ Ἀρείου, ἐν τούτοις οὗτος διετήρησε τὸ Ὀρθόδοξον φρόνημά του. Ἐγνώρισε τὸν Μέγαν Βασίλειον, ὅστις ἀπὸ τὸ ἔτος 370 ἦτο Ἐπίσκοπος Καισαρείας. Αὐτὴ δὲ ἡ οἰκεία ἐπαφὴ μὲ τὸν Μέγαν Βασίλειον εἶχεν ἐμπνεύσει πρὸς αὐτὸν τὴν κλίσιν πρὸς τὸν θρησκευτικὸν βίον καὶ μετὰ τὸν θάνατον τοῦ Βασιλέως «ἀπέθετο τὴν στρατιωτικὴν ζώνην» καὶ ἀπεσύρθη εἰς τὰ περίχωρα τῆς Ἀντιοχείας, διὰ νὰ ἐπιδοθῇ εἰς τὴν ἄσκησιν.

Ἐγκατεστάθη ἐπὶ τοῦ πλησίον βουνοῦ, ἐντὸς παλαιοῦ τάφου καὶ ἠσκεῖτο εἰς τὰς μοναχικὰς ἀρετάς. Δὲν εἶχε λύχνον, οὔτε κιβώτιον, οὔτε τράπεζαν, οὔτε βιβλίον, οὔτε στρῶμα.

Ἡ στρωμνή του ἦτο μία παλαιὰ στιβάς, ἀπὸ χόρτα, καὶ ἄλλα τινὰ τὰ ὁποῖα ἦσαν ἐστρωμένα ἐπὶ πετρῶν. Ἔνδυμά του εἶχεν ἐν παλαιὸν ῥάκος· ἡ τροφή του ἦτο ἄρτος μικρός, ὁ ὁποῖος ἐδίδετο εἰς αὐτὸν ἀνὰ δύο ἡμέρας ἀπὸ ἕνα φίλον του, τὸ δὲ ὕδωρ ἔφερεν ὁ ἴδιος ἀπὸ μακρυνὸν τόπον.

Ὅτε δὲ ἐγένετο ἐπιδρομὴ τῶν Ἰσαύρων καὶ κατέσφαξαν πολλοὺς ἀσκητάς, ὁ θεῖος οὗτος ἀνὴρ διὰ τῆς προσευχῆς του ἀπέφυγε τὴν σφαγὴν καὶ οἱ ἐπιδρομεῖς δὲν διέκρινον τὴν εἴσοδον τοῦ κελλίου του.

Ἔζησεν ἐν ἀσκήσει 40 ἐν ὅλῳ ἔτη καὶ ἔχαιρε μεγάλης ὑπολήψεως ἐκ μέρους τῶν μοναχῶν λόγῳ τῆς Ἁγιωσύνης του καὶ μετὰ σκληραγωγημένην καὶ ἐνάρετον ἄσκησιν ἀπῆλθεν εἰς Κύριον ἐπὶ τῆς ἐποχῆς τοῦ Ἐπισκόπου Ἀλεξάνδρου περὶ τὸ ἔτος 417 μ.Χ.

Εἰς τὸ ὑπ' ἀριθ. 2437 τῆς 17/2/1966 φύλλον τοῦ Θρησκευτικοῦ

www.tezaurliturgic.ro

περιοδικοῦ «ΖΩΗ», ἐν σ[illegible] τῶν γεγονότων ἀναγράφεται, ὅτι ἕνας Πορτογάλος ταχυδρομικὸς ὁ Γκ. Φερρέϊρα, ὁ ὁποῖος ἐθεώρησεν ἀληθινὴν ἀνακάλυψιν τὴν ἐνδιαφέρουσαν αὐτὴν περίπτωσιν, ἔγραφε πρὸ ὀλίγων ἐτῶν: «οὕτω ἐναβρυνόμεθα καὶ ἡμεῖς ἐπικαλούμενοι καὶ προβάλλοντες τὸν ἀρχαῖον συνάδελφον, τὸν Ἅγιον Ζήνωνα, τὸν ταχυδρόμον, πρὸς τὸν σκοπόν, ὅπως γίνῃ γνωστὸς καὶ τιμηθῇ προσηκόντως ἀπὸ τοὺς λειτουργοὺς τῶν Πορτογαλικῶν ταχυδρομείων». Ἐὰν ταῦτα γράφῃ ὁ Πορτογάλος, πόσῳ μᾶλλον ἰσχύουν αὐτὰ δι' ἡμᾶς τοὺς Ἕλληνας, ποὺ εἶναι ὁ ἰδικός μας ὁ Ἅγιος Ταχυδρόμος;— προσθέτει τὸ περιοδικὸν «ΖΩΗ».— Ἂς σκεφθοῦν λοιπὸν τὸ θέμα οἱ Ἕλληνες Ταχυδρομικοί.

Ἐπαναλαμβάνομεν καὶ ἡμεῖς θερμῶς τὴν σύστασιν ταύτην καὶ εὐχόμεθα ὁλοψύχως ὅπως οἱ ταχυδρομικοὶ ὑπάλληλοι τῆς Ἑλλάδος τιμήσουν τὸν Ἅγιον τοῦτον ὡς προστάτην των καὶ τελοῦν πανηγυρικὴν θείαν Λειτουργίαν κατὰ τὴν ἡμέραν τῆς μνήμης του, ἢ τὴν πρώτην Κυριακὴν μετ' αὐτήν, συντασσομένης πρὸς τοῦτο καὶ ειδικῆς Ἀκολουθίας ὑπὸ τοῦ Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας πατρὸς Γερασίμου Μικραγιαννανίτου.

Εὐχόμεθα ὁλοψύχως, ὅπως τὸ σύντομον τοῦτο σημείωμα ἀποτελέσῃ ἀφορμὴν πραγματοποιήσεως τῆς ὡραίας ταύτης ἰδέας.

Κατωτέρω ἀναδημοσιεύομεν ὁλόκληρον τὸν βίον αὐτοῦ ἐκ τῆς Φιλοθέου Ἱστορίας Θεοδωρήτου δημοσιευθέντα εἰς τὴν Ἑλληνικὴν Πατρολογίαν τοῦ Migne τόμος 83, σελ. 1396-1400.

Γ. Π. ΓΙΑΝΝΑΚΟΠΟΥΛΟΣ

Ἑλληνικὴ πατρολογία τόμος 82, σελ. 1396-1400.
Θεοδωρήτου Ἐπισκόπου Κύρου LXXXII
Φιλόθεος Ἱστορία. Ἡ ἀσκητικὴ πολιτεία. 1859.

## ΙΒ' Ζήνων.

Ζήνωνα τὸν θαυμάσιον οὐ πολλοὶ μὲν γινώσκουσιν, οἱ δὲ γινώσκοντες θαυμάζειν ἀξίως οὐ δύνανται.

Οὗτος γὰρ πλοῦτον ὅ,τι μάλιστα πλεῖστον ἐν τῇ πατρίδι καταλιπών (αὕτη δὲ ἦν ὁ Πόντος), ἀπήλαυσε μέν, ὡς ἔλεγε, τῶν Βασιλείου τοῦ μεγάλου ναμάτων, γειτονεύοντος, καὶ τὴν Καπαδοκῶν ἀρδεύοντος, τῆς δὲ ἀρδείας ἀξίους ἀπέδωκε τοὺς καρπούς.

Εὐθὺς μὲν γὰρ Οὐάλεντος τοῦ Βασιλέως ἀναιρεθέντος, τὴν στρατιωτικὴν ἀπέθετο ζώνην. Ἐγκατείλεκτο δὲ τοῖς τὰ Βασιλέως ὀξέως διακομίζουσι γράμματα. Ἀπὸ δὲ τῶν Βασιλείων εἴς τινα τάφον ὁρμήσας (πολλοὺς δὲ ἔχει τὸ τῇ Ἀντιοχείᾳ παρακείμενον ὄρος)· μόνος διῆγε, τὴν ψυχὴν ἐκκαθαίρων, καὶ τὸ ταύτης ὀπτικὸν ἀπορρίπτων καὶ τὴν θείαν φανταζόμενος θεωρίαν καὶ τὰς τοῦ Θεοῦ ἀναβάσεις ἐν τῇ καρδίᾳ τιθέμενος, καὶ πτέρυγας λαβεῖν, ὡσεὶ περιστερᾶς ἐφιέμενος, καὶ εἰς τὴν θείαν κατάπαυσιν ἀναπτῆναι ποθῶν.

Τούτου χάριν, οὐ κλίνην εἶχεν, οὐ λύχνον, οὐκ ἐσχάραν, οὐ χύτραν, οὐ ληκύ-

www.tezaurliturgic.ro

θιον, οὐ κιβώτιον, οὐ βιβλίον, οὐκ ἄλλο τι. Ἀλλὰ ῥάκια μὲν ἠμπείχετο παλαιὰ καὶ ὑποδήματα δὲ ὡσαύτως δεσμῶν δεόμενα· διῄρητο γὰρ τῶν καττυμάτων τὰ δέρματα.

Παρ' ἑνὸς δὲ μόνου τῶν γνωρίμων τὴν ἀναγκαίαν τροφὴν ἐπορίζετο. Αὕτη δὲ ἦν εἷς ἄρτος δύο χορηγούμενος ἡμέραις, τὸ δὲ ὕδωρ πόρρωθεν ἀρυόμενος αὐτὸς ἔφερε. Καὶ πότε τις αὐτὸν ἀχθοφοροῦντα θεασάμενος, ἱκέτευσε κουφίσαι τοῦ πόνου. Ὁ δὲ τὰ μὲν πρῶτα ἀντέτεινε, διδάσκων ὡς οὐκ ἀνέξεται μεταλαβεῖν ὕδατος ὑπ' ἄλλου κομισθέντος. Ὡς δὲ οὐκ ἔπεισεν, ἔδωκε τὰ σταμνία· δύο γὰρ ἀμφοῖν ταῖν χεροῖν ἐπεφέρετο. Ὡς δὲ εἴσω τῆς αὐλίου θύρας ἐγένετο, ἐκχέας τὸ ὕδωρ καὶ διαρράνας, πάλιν ἔδραμεν ἐπὶ τὸν κρουνόν, ἔργῳ βεβαιώσας τοὺς λόγους. Κἀγὼ δὲ ὅτε πρῶτον αὐτὸν ἱστορῆσαι ποθήσας εἰς τὸ Ὄρος ἀνῆλθον, ἐθεασάμην ταῖν χεροῖν τὰ σταμνία κατέχοντα. Εἶτα ἠρόμην, ὅπου εἴη τὸ τοῦ θαυμασίου Ζήνωνος καταγώγιον· ὁ δὲ ἥκιστα ἔλεγεν εἰδέναι μονάζοντα ταύτῃ τῇ προσηγορίᾳ καλούμενον. Ἐγὼ δὲ αὐτὸν εἶναι τοπάσας εἰπόμην, τεκμήριον ποιούμενος τῶν λόγων τὸ μέτριον. Ὡς δὲ εἴσω τῆς θύρας ἐγενόμην, στιβάδα εἶδον ἀπὸ χόρτου συγκειμένην καὶ ἕτερον τινὰ φορυτὸν ἐπὶ τῶν λίθων κατεστρωμένον, ὡς μηδεμίαν ἐκεῖθεν οἱ ἐπ' ἐκείνῳ καθήμενοι ἀποφέροιντο βλάβην.

Ὡς δὲ πολλοὺς περὶ φιλοσοφίας ἐκινήσαμεν λόγους (ἐγὼ μὲν γὰρ ἐπυνθανόμην, αὐτὸς δὲ ἡμῖν ἀ ν έ π τ υ σ σ ε τὰ ζητούμενα). Καὶ ἔδει λοιπὸν ἐπανιέναι οἴκαδε, ἱκέτευον αὐτὸν δοῦναι τὰ τῆς εὐλογίας ἐφόδια. Ὁ δὲ ἀντέτεινε, πληροῦν ἡμᾶς τὴν εὐχὴν ἔννομον εἶναι λέγων καὶ ἑαυτὸν μὲν ἰδιώτην καλῶν, στρατιώτας δὲ ἡμᾶς ὀνομάζων. Καὶ γὰρ ἐτύγχανον τηνικάδε τὰς ἱερὰς βίβλους τῷ θείῳ ὑπαναγιγνώσκων λαῷ. Ἡμῶν δὲ τὴν νεότητα προβαλλομένων καὶ τῆς ἡλικίας τὸ ἄωρον (ἄρτι γὰρ ἰούλου βραχεῖάν τινα προβολὴν ἐδεδέγμεθα) καὶ διομνυμένων ὡς οὐχ ἥξομεν αὖθις, εἰ τοῦτο δρᾶσαι νῦν βιασθείημεν· μόλις ὀψέποτε ταῖς ἱκεσίαις ἐπικαμφθείς, προσήνεγκε μὲν τῷ Θεῷ τὴν πρεσβείαν· μακρὰν δὲ ὑπὲρ τῆς πρεσβείας ἀπολογίαν ἐξέτεινε, ἀγάπης εἵνεκα καὶ εὐπειθείας τοῦτο πεποιηκέναι λέγων· καὶ γὰρ ἠκούομεν εὐχομένου πελάζοντες.

Τὸ δὲ ἐν τοσούτῳ φιλοσοφίας ὕψει τοσαύτην ἔχειν φρονήματος μετριότητα πρεσβύτην ἄνδρα (τεσσαράκοντα γὰρ ἔτη ἐν τῇ ἀσκήσει διηνεκῶς ἐτύγχανεν), τίς ἂν ἀξίως θαυμάσειε; ποίαν δὲ ἄν τις τῷ μεγέθει πρόσφορον εὐφημίαν ποιήσαιτο; Τοσοῦτον δὲ ἀρετῆς κεκτημένος πλοῦτον, ὡς πενίᾳ τῇ ἐσχάτῃ συζῶν, εἰς τὴν θείαν ἐκκλησίαν μετὰ τῶν πολλῶν κατὰ Κυριακὴν ἡμέραν ἐφοίτα· καὶ τῶν θείων ἐπαΐων λόγων, καὶ τοῖς διδασκάλοις ὑποτιθεὶς τὰ ὦτα, καὶ τῆς μυστικῆς μεταλαμβάνων Τραπέζης, εἰς τὸ καινὸν ἐκεῖνο καταγώγιον ἐπανῄει· οὐ κλειδίον ἔχων, οὐ φύλακα καταλιμπάνων· ἄβατον γὰρ ἦν τοῖς κακούργοις, καὶ παντελῶς ἄσυλον, μόνον ἔχων ἐκεῖνον τὸν φορυτόν. Βίβλον δὲ μίαν παρὰ τῶν συνήθων λαμβάνων, ἀνεγίγνωσκεν ἅπασαν· καὶ ταύτην ἀποδιδοὺς πρότερον, οὕτως ἑτέραν ἐλάμβανεν. Ἀλλ' ὅμως κλεῖθρα οὐκ ἔχων, οὐδὲ μοχλοῖς χρώμενος, ὑπὸ τῆς ἄνωθεν χάριτος ἐφρουρεῖτο. Καὶ τοῦτο σαφῶς δι' αὐτῆς τῆς πείρας ἐμάθομεν. Ὅτε γὰρ τῶν Ἰσαύρων ὁ λόχος νύκτωρ κατέλαβε τὴν Ἀκρόπολιν, εἶτα μετὰ τὴν ἕω μέχρις αὐτῆς τῆς ὑπωρείας κατέδραμον, πολλοὺς μὲν ἄνδρας, πολλὰς δὲ γυναῖκας τὸν ἀσκητικὸν μετιούσας βίον, ἀπηνῶς κατηκόντισαν. Τότε τοίνυν ὁ θεῖος οὗτος ἀνήρ, τῶν ἄλλων θεώμενος τὰς σφαγάς, εὐχῇ τὰς ἐκείνων κατεμαύρωσεν ὄψεις· καὶ διὰ τῆς θύρας ἰόντες οὐκ ἐθεώρουν τὴν εἴσοδον. Ὡς δὲ ἔφασκε μάρτυρα καλῶν τὴν ἀλήθειαν καὶ τρία μειράκια ἐναργῶς ἐθεάσατο ἅπαν ἐκεῖνον ἐξελαύνοντα τὸ στίφος, σαφῶς τοῦ Θεοῦ τὴν οἰκείαν χάριν ὑποδεικνύντος. Ὁποῖον μὲν οὖν ἔζη βίον ὁ θεῖος οὗτος ἀνὴρ καὶ οἵας θεόθεν ἀπήλαυσε χάριτος, ἀπόχρη καὶ ταῦτα διδάξαι. Ἀλλὰ γὰρ ἀναγκαῖον κἀκεῖνο τούτοις προσθεῖναι.

Λίαν αὐτὸν ἠνία καὶ ἔδακνε, τὸ διανεῖμαι τὴν περιουσίαν, καὶ μὴ κατὰ τὸ Εὐαγγελικὸν διαπραθῆναί www.tezaurliturgic.ro Αἴτιον δὲ τούτου ἦν τῆς τῶν ἀδελφῶν ἡλικίας τὸ ἄωρον.

Ἐπειδὴ γὰρ κοινὰ ἦν τά τε κτήματα, καὶ τὰ χρήματα, αὐτὸς μὲν καταλαβεῖν τῆς διανομῆς ἕνεκεν τὴν ἐνεγκοῦσαν οὐκ ἤθελεν· ἑτέρῳ δὲ τῆς οὐσίας ἀποδόσθαι τὸ μέρος ἐδεδίει, μὴ πλεονεξίᾳ οἱ ὠνούμενοι κατὰ τῶν ἀδελφῶν χρησάμενοι, βλασφημίαις αὐτὸν περιβάλωσι. Τούτους ἐν ἑαυτῷ στρέφων τοὺς λογισμούς, πολὺν τὴν ἀπόδοσιν ἀνεβάλλετο χρόνον, ὕστερον δέ τινι τῶν ... ορίμων ἀποδόμενος ἅπαντα, τὰ μὲν πλεῖστα διένειμε, μεταξὺ δὲ ἀρρωστίᾳ συμβᾶσα περὶ τῶν λειπομένων βουλεύσασθαι κατηνάγκασε. Μεταπεμψάμενος τοίνυν τὸν τῆς πόλεως Πρόεδρον (ἦν δὲ ὁ μέγας Ἀλέξανδρος) τὸ τῆς εὐσεβείας ἀγλάϊσμα, τῆς ἀρετῆς τὸ ἀρχέτυπον, ἡ ἀκριβὴς τῆς φιλοσοφίας εἰκών, «Δεῦρο, ἔφη, ὦ θεία μοι κεφαλή, γενοῦ καὶ τῶνδε τῶν χρημάτων ἄριστος οἰκονόμος κατὰ τὸν θεῖον αὐτὰ διανέμων σκοπόν, ὡς ἐκείνῳ τῷ κριτῇ τὰς εὐθύνας ὑφέξων. Τῶν μὲν γὰρ ἄλλων αὐτουργὸς ἐγενόμην ἐγώ, καὶ διέδωκα ᾗ ἐνόμιζον ἄριστα· καὶ τὰ λειπόμενα δὲ παραπλησίως οἰκονομεῖν ἐβουλόμην. Ἐπειδὴ δὲ ἐκ τοῦδε τοῦ βίου μεταβῆναι κελεύομαι, σὲ τούτων οἰκονόμον καθίστημι, ἀρχιερέα τε ὄντα καὶ τῆς ἀρχιερωσύνης ἀξίως πολιτευόμενον».

Τὰ μὲν οὖν χρήματα ὡς θείῳ ταμίᾳ παραδέδωκεν. Αὐτὸς δὲ οὐ πολὺν ἐπιβιώσας χρόνον, οἷά τις Ὀλυμπιονίκης ἀπὸ τῶν σκαμμάτων ἀπῆρεν, οὐ παρὰ ἀνθρώπων μόνον, ἀλλὰ καὶ παρὰ Ἀγγέλων τὴν εὐφημίαν δεξάμενος. Ἐγὼ δὲ καὶ τοῦτον πρὸς τὸν Δεσπότην ὑπὲρ ἐμοῦ πρεσβεύειν ἀντιβολήσας, εἰς ἑτέραν διήγησιν τοῦ λοιποῦ μετατρέψομαι.

## ΒΙΒΛΙΟΓΡΑΦΙΑ


Σωφρονίου Εὐστρατιάδου: Ἁγιολόγιον σελὶς 163.

Migne: Ἑλληνικὴ Πατρολογία τόμος LXXXII τόμος 82 σελὶς 1396–1400.

H. Deleyave: Synaxarium Ecclesiae Constantinopolitanae σελὶς 456–457.

F. Hulkin: Bibliotheca Hagiographica Graeca. Tome II p. 321.

Festugière: Antioche Païenne et Chrétienne - Libanius - Chrysostome et les moines de Syrie. Paris 1951, σελὶς 280—282.

Glanlille: Downey: A. History of Antioche in Syria from Seleucus to the Arabe conquest. Princeton, Princeton University Press 1961 XVII—159 p. et 2 pl. Βιβλιοκρισία ὑπὸ M. van Esbroeck in Analecta Bollandiana LXXX τόμος 80 σελὶς 202–204, εἰς σελίδα 439 ἀρ: 555 ἀναφέρει διὰ τὸν Ζήνωνα.

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## Τοῦ Ὁσίου καὶ Θεοφόρου πατρὸς ἡμῶν Ζήνωνος Αὐτοκρατορικοῦ Ταχυδρόμου, προστάτου δὲ καὶ ἐφόρου πάντων τῶν Ταχυδρομικῶν Ὑπαλλήλων.

Μηνὶ Φεβρουαρίῳ

Μετὰ τὴν ἑορτὴν τῆς Ὑπαπαντῆς τῇ ἀμέσως ἐρχομένῃ Κυριακῇ μνήμην ἐπιτελοῦμεν τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ζήνωνος, Αὐτοκρατορικοῦ Ταχυδρόμου, προστάτου καὶ ἐφόρου πάντων τῶν Ταχυδρομικῶν Ὑπαλλήλων.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

*Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.*

*Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τῆς σφαλλομένης εὐκλείας Ζήνων μακάριε, λιπὼν τὰς ἀπολαύσεις, οὐρανόφρονι γνώμῃ, τοῖς λόγοις τοῦ Σωτῆρος πίστει θερμῇ, ἠκολούθησας Ὅσιε, ἀγγελικὴν πολιτείαν ἐπὶ τῆς γῆς, μετὰ σώματος ἑλόμενος.

Τῶν προσηκόντων τὰς σχέσεις ἀπαρνησάμενος, Κυρίῳ ᾠκειώθης, σταυρωθεὶς τοῖς ἐν κόσμῳ, Ζήνων θεοφόρε, καὶ τοῦ φωτὸς ἐπληρώθης τῆς χάριτος, δι᾽ οὗ παθῶν ἀπελαύνεις πᾶσαν ἀχλύν, καὶ δαιμόνων τὴν ἐπήρειαν.

Ἐπιστολεὺς πέλων Ζήνων τοῦ αὐτοκράτορος, τῷ Βασιλεῖ τῆς δόξης ἠκολούθησας χαίρων, καὶ ἐπιστολοφόρων ὤφθης θερμὸς βοηθὸς θείῳ Πνεύματι, ἀγγελικῶς βιοτεύσας ἐπὶ τῆς γῆς· διὰ τοῦτο εὐφημοῦμέν σε.

www.tezaurliturgic.ro

Τοῦ ἐπὶ γῆς βασιλέως τὴν ὑπουργίαν, σοφέ, καταλιπὼν ἐμφρόνως, Βασιλεῖ τῶν αἰώνων, ἐδούλευσας ὁσίως Χριστῷ τῷ Θεῷ, ὡς θεράπων πιστότατος· ὅθεν τῆς δόξης τῆς θείας ἐν οὐρανοῖς, Πάτερ Ζήνων, κατηξίωσαι.

*Δόξα. Ἦχος α΄.*

Τῆς αἰωνίου ζωῆς τὸν πλοῦτον, ἐταμιεύσω πανσόφως, ἀσκητικοῖς σκάμμασι, Ζήνων παμμακάριστε· τῶν γὰρ χαμαὶ κειμένων, ὁλικῶς μακρύνας, δι᾽ ἄκρας ἀσκήσεως, τὸν Θεὸν ἐξεζήτησας· καὶ εὑρὼν ὃν ἐπόθεις, μακαρισμοῦ θείου ἠξίωσαι, τυχὼν τοῦ θείου τέλους. Ἀλλὰ πρέσβευε δεόμεθα, Πάτερ, δοῦναι ἡμῖν πταισμάτων ἄφεσιν.

Καὶ νῦν. *Θεοτοκίον.*

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

*Ἀ π ό σ τ ι χ α.*
*Ἦχος πλ. β΄. Τριήμερος ἀνέστης.*

Καθάρας τὴν καρδίαν σου, δι᾽ ἐγκρατείας Ὅσιε, ἐπληρώθης, οὐρανίων δωρεῶν, ἐκλάμπων Πάτερ Ζήνων, ζωῆς τῆς ἐναρέτου, τῇ σῇ ἀσκήσει τὰς λαμπρότητας.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Τὸν κόσμον καταλέλοιπας, ζωὴν πρὸς ὑπερκόσμιον, Πάτερ Ζήνων, ἐπειγόμενος στερρῶς, δι᾽ ἐγκρατείας πάσης· ἧς ὤφθης κληρονόμος, καλῶς τελέσας τὸν ἀγῶνα σου.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον...

Δοχεῖον ὤφθης εὔχρηστον, καὶ ὄργανον εὐάρμοστον, Πάτερ Ζήνων, ἐπιπνοίας θεϊκῆς, ὑπεραρθεὶς τῆς ὕλης, ἀΰλῳ πολιτείᾳ, καὶ Ταχυδρόμων φύλαξ ἕτοιμος.

Δόξα. *Τριαδικόν.*

www.tezaurliturgic.ro

Τριὰς ἡ ὁμοούσιος, Μονὰς ἡ τρισυπόστατος, Πάτερ Λόγε, καὶ τὸ Πνεῦμα τὸ εὐθές, πρεσβείαις εὐπροσδέκτοις, Ζήνωνος τοῦ Ὁσίου, δίδου τῷ κόσμῳ τὰ ἐλέη σου.

Καὶ νῦν. *Θεοτοκίον.*

Ἀφράστως ἀπεκύησας, σαρκὸς ἐν ὁμοιώματι, Θεοτόκε, εἰς ἀνάπλασιν βροτῶν, τὸν πάντων Βασιλέα· ὃν μητρικῶς δυσώπει, ὑπὲρ τῶν πίστει ἀνυμνούντων σε.

*Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.*

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ α´ Κάθισμα τοῦ Ψαλτηρίου. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι´ καὶ ψάλλομεν Ἀναστάσιμα δ´ τοῦ τυχόντος ἤχου, καὶ τοῦ Ἁγίου Προσόμοια στ´ τὰ ἑξῆς:

*Ἦχος δ´. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Τὴν ζωὴν τὴν ἐπίκηρον, καὶ στρατείαν τὴν πρόσκαιρον, νουνεχῶς κατέλιπες Ζήνων Ὅσιε, τρωθεὶς ἀγάπῃ τῇ κρείττονι, Χριστοῦ τοῦ Παντάνακτος, καὶ ἰσάγγελον ζωήν, μετὰ σώματος ἔζησας· ὅθεν ἔτυχες, οὐρανίων χαρίτων ἐπαξίως, καὶ Ἀγγέλων συμπολίτης, καὶ κοινωνὸς ἐχρημάτισας.

Ἐγκρατείᾳ ἐνέκρωσας, τῆς σαρκὸς τὴν εὐπάθειαν, καταπλήξας ἅπαντας τῇ ἀσκήσει σου, τὴν δὲ ψυχὴν ἀπετέλεσας, δοχεῖον ὑπέρτιμον, ἀπορροίας θεϊκῆς, καὶ ἀΰλου ἐλλάμψεως, Ζήνων Ὅσιε, τῆς Ἁγίας Τριάδος· ᾗ παρέστης, στεφηφόρος θεοφόρε, θείαν καρπούμενος μέθεξιν.

Ὡς τὸ ὄρος κατέλαβες, οὐρανίῳ φρονήματι, πρὸς ὄρη αἰώνια καθὰ γέγραπται, τὴν σὴν διάνοιαν ὕψωσας, ἐν τάφῳ οἰκήσας δέ, καρτερίᾳ ἀληθεῖ, παντὶ κόσμῳ νενέκρωσαι, Ζήνων Ὅσιε, καὶ παρέχεις βοήθειαν ταχεῖαν, τοῖς πιστοῖς γραμματοφόροις, ἐπιτελοῦσι τὴν μνήμην σου.

*Προσόμοια ἕτερα.*
*Ἦχος ὁ αὐτός. Ἔδωκας σημείωσιν.*

Ἔδωκας τῷ Κτίστῃ σου, τῆς σῆς καρδίας τὴν ἔφεσιν, καὶ νοὸς τὰ κινήματα, πρὸς τούτου τὸ θέλημα, κατεύθυνας Πάτερ· ὅθεν θελημάτων, τῶν τῆς σαρκὸς ἀπαρνηθείς, τὴν κοινωνίαν ἐνθέῳ ἔρωτι, ὡς ἄγγελος ἐβίωσας, σωματικῶς Ζήνων Ὅσιε, καὶ Ἀγγέλων τῆς στάσεως, μετὰ τέλος ἠξίωσαι.

www.tezaurliturgic.ro

Σώματος ἀπέρριψας πᾶσαν τὴν πρόνοιαν, Ὅσιε, τῷ Θεῷ ἀναθέμενος, τὴν ζωήν σου ἅπασαν, ἀδιστάκτῳ πίστει· ἔνθεν ἐν τῷ τάφῳ, Πάτερ συγκλείσας σεαυτόν, πᾶσαν ἀπάτην ἐχθροῦ ἐνέθαψας, συντόνοις σου δεήσεσι, καὶ ἀγρυπνίαις καὶ δάκρυσι, καὶ τοῦ Πνεύματος σκήνωμα, φωταυγὲς Ζήνων πέφηνας.

Ἤνυσας στερρότατα, τὸ τῆς ἀσκήσεως στάδιον, καὶ Θεῷ εὐαρέστησας· ἐντεῦθεν ἀπείληφας, Ζήνων θεοφόρε, χάριν τοῦ παρέχειν, τοῖς τῶν γραμμάτων κομισταῖς, ἰσχὺν καὶ θείαν ὄντως ἀντίληψιν· διὸ γραμματοφόροι σε, προστάτην θεῖον ἐκτήσαντο, καὶ φαιδρῶς ἑορτάζουσι, τὴν σεπτήν, Πάτερ, μνήμην σου.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον ὁ θεοφόρος Ζήνων, τῆς ἐν Χριστῷ ζωῆς τὰς χάριτας, ἐμφανεστέρας κόσμῳ παρίστησιν, ἐν τῇ ἁγίᾳ αὐτοῦ μνήμῃ· ἐν ὁσιότητι γὰρ καὶ ἀληθείᾳ, κοσμήσας τὸν βίον, πρὸς ἐργασίαν τοῦ κρείττονος, διεγείρει τοὺς βοῶντας· χαίροις ὁ δι᾽ ἀσκήσεως στερρᾶς, τῶν προσύλων ἐννοιῶν τὸν νοῦν καθάρας, καὶ τῶν ἀΰλων ἐμφάσεων, δεξάμενος τὴν χάριν· χαίροις ὁ τῇ ἄνωθεν ἰσχύϊ, τῶν τοῦ ἐχθροῦ ἐπινοιῶν κατισχύσας, καὶ οἰκείας ἀσθενείας περιγενόμενος· χαίροις ὁσίων ἔργων ὑποτύπωσις, Μοναζόντων στάθμη, καὶ τῶν πιστῶν ἐπιστολέων, πρεσβευτὴς πρὸς Κύριον· Ὢ πρέσβευε δεόμεθα Πάτερ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν.*

*Τὸ Δογματικὸν Θεοτοκίον τοῦ ἤχου.*

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον, Ὁ Κύριος ἐβασίλευσεν... καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

*(Κεφ. γ΄ 1).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁ-

www.tezaurliturgic.ro

λοκάρπωμα θυσίας, προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

*(Κεφ. ε' 15)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε, οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

*(Κεφ. δ' 7).*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ

www.tezaurliturgic.ro

ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν *Λιτήν*, Ἰδιόμελα.

Ἦχος α΄.

Ὅσιε Πάτερ, ἀγάπῃ θείᾳ πτερωθείς, τὰ ἐν κόσμῳ ἡδέα ἀπώσω, καὶ ὅλῃ ψυχῇ ἠτένισας, πρὸς μόνα τὰ μένοντα· καὶ τῷ πόθῳ κατάλληλον ἐπιδειξάμενος τρόπον, ἀσκητικοῖς ἀγῶσι διέπρεψας, καὶ τῆς μελλούσης ζωῆς τὰς ἀπαρχὰς ἐν δυνάμει θείᾳ ἐκτήσω· ἀμέμπτῳ γὰρ πολιτείᾳ τοῦ παρακλήτου ἡ χάρις, θαυμαστῶς ἐν σοὶ ἐνήργει. Ἀλλ' ὦ Ζήνων μακάριε, τῇ Παναγίᾳ Τριάδι πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

*Ἦχος β΄.*

Τὸν ζυγὸν τοῦ Χριστοῦ ἀράμενος τὸν χρηστὸν καὶ ἐλαφρόν, τὰς ἐν κόσμῳ φροντίδας ἀπέρριψας, ὥσπερ ἄχθος βαρύ, Ζήνων θεόσοφε· καὶ συντόνῳ χρησάμενος δρόμῳ, τῆς στενῆς καὶ τεθλιμμένης ἥψω ὁδοῦ, ἐν τῷ ὄρει ἀνελθών· δι' ἧς τοῦ ἐχθροῦ τὰς μεθοδείας ἐστένωσας τῷ πλάτει τῶν πόνων σου, καὶ πρὸς τὸ πέρας ἔφθασας τῆς ἄνω κλήσεως· Χριστὸς γὰρ τοὺς ἱδρῶτάς σου ὡς προσφορὰν δεξάμενος, αἰωνίως σε δοξάζει Ὅσιε.

*Ἦχος γ΄.*

Ὥσπερ θάλαμον φωτὸς τὸν τάφον ᾤκησας Ὅσιε, νεκρὸς τῷ κόσμῳ γενόμενος, καὶ ἐν Χριστῷ ζῶν καὶ κινούμενος· καὶ ἐγκρατείᾳ πολλῇ ὑποπιάσας τὸ σῶμα, θεωριῶν θείων ἠξίωσαι, καὶ θεοσδότου χάριτος, ἐν μετοχῇ ἀρρήτῳ θεωθείς· ὅθεν αἰδέσιμος ὤφθης πᾶσι καὶ ἐχθροῖς φοβερός, ἐνεργείᾳ κρείττονι· καὶ νῦν ἀνακεκαλυμμένως τρυφῶν τῆς μακαρίας δόξης, ὑπὲρ ἡμῶν Χριστὸν δυσώπει, Ζήνων θεόληπτε.

*Ἦχος δ΄.*

Ἀσκητικῆς πολιτείας καλλιεργήσας τὴν ἄρουραν, ἐναρέτων καμάτων τοὺς καρπούς, τῇ Ἐκκλησίᾳ ἐξήνεγκας Πάτερ· ὑπὲρ φύσιν γὰρ ἠγωνίσω, καταπαλαίσας τοῦ σκότους τὸν ἄρχοντα, τῷ φωτὶ τῶν ἔργων σου· καὶ ὑπὲρ φύσιν δοξασθείς, τῇ θείᾳ χορηγίᾳ,

παρέχεις πᾶσι τὰς ἀποδείξεις, τῆς ἐν σοὶ λαμπρότητος· διὸ τὴν μνήμην σου ἄγοντες, θεοφόρε Ζήνων, βοῶμέν σοι· Τῷ Κυρίῳ ἀεὶ πρέσβευε, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

www.tezaurliturgic.ro

*Δόξα. Ὁ αὐτός.*

Τῆς ἰσαγγέλου ζωῆς ἀκηλίδωτον ὤφθης ἔσοπτρον, ἔξω κόσμου καὶ σαρκὸς πολιτευσάμενος, Ζήνων Πάτερ Ὅσιε· τοῦ Παρακλήτου γὰρ τὴν αἴγλην, μυστικῶς ὑπεδέξω, χωρισθεὶς τῶν γεηρῶν· ὅθεν πᾶσιν ἐκφαίνεις, ἐν λόγῳ καὶ ἔργῳ, τῶν ἀρετῶν τὴν ἀντίδοσιν, καὶ πρεσβεύεις ἀπαύστως, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. *Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων...

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια. Πρῶτον τὸ Ἀναστάσιμον τοῦ τυχόντος ἤχου καὶ εἶτα τὰ ἑξῆς τοῦ Ὁσίου.

*Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίρων τῇ ἀγαπήσει Χριστοῦ, τὰ ἐν τῷ κόσμῳ ἀπεμάκρυνας Ὅσιε, καὶ ἄσαρκον πολιτείαν, μετὰ σαρκὸς ὑπελθών, τοῦ ἐχθροῦ καθεῖλες τὰ φρυάγματα, καὶ δόξης τῆς κρείττονος, κοινωνὸς καὶ συμμέτοχος, καὶ τῆς ἀλήκτου, εὐφροσύνης συνόμιλος, Ζήνων Ὅσιε, ἀληθῶς ἀναδέδειξαι· ταύτην γὰρ προορώμενος, οὐδόλως ἐνάρκησας, τῆς ἐγκρατείας τοῖς πόνοις, ἀλλὰ προθύμως διήνυσας, ζωῆς τὸν ἀγῶνα, τὸν Σωτῆρα μεγαλύνων, τὸν σὲ δοξάσαντα.

*Στίχ.* Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίροις ὁ θεοφόρος ἀνήρ, τῶν ἀσκητῶν περιφανὲς σεμνολόγημα, ἀγάπης θείας ὁ ἄνθραξ, ὁ καταφλέξας παθῶν, μοχθηρίαν πᾶσαν θείῳ Πνεύματι· νηστείας ὑπόδειγμα, ταπεινώσεως σκήνωμα, τῆς καρτερίας, ἀκατάβλητος πρόβολος, τύπος ἄριστος, θεωρίας καὶ πράξεως· χάριτος θείας ὄργανον· πυρσὸς παμφαέστατος, πρὸς τοὺς λιμένας ἰθύνων, τῆς ἀληθοῦς καταπαύσεως. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον...

Λόγοις καταρδευθεὶς ἱεροῖς, οἷάπερ ῥείθροις Βασιλείου τοῦ μάκαρος, ἐξήνθησας ὥσπερ κῆπος, ἀνθοτρεφὴς ἀληθῶς, τῆς Χριστοῦ ἀγάπης ἄνθη εὔοσμα· καὶ βίον οὐράνιον, ἐγεώργησας Ὅσιε, σαρκὸς νεκρώσας, τὸ φθειρόμενον φρόνημα, ἀγωνίσμασι, τῆς

ὁσίας ἀσκήσεως· ὅθεν τῆς ὑπὲρ ἔννοιαν, ζωῆς ὤφθης μέτοχος, καὶ σὺν Ἀγγέλοις χορεύεις, Ζήνων Ὁσίων ἀγλάϊσμα· μεθ' ὧν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro

*Δόξα. Ἦχος πλ. δ'.*

Ἀσκητικοῖς παλαίσμασι, τὸν παλαιὸν ἀπέθου ἄνθρωπον, καὶ τὴν ἐν καινότητι ζωῆς ἐνέργειαν, ἐνεδύσω Ζήνων Ὅσιε· ἀκολουθήσας γὰρ Χριστῷ, ἔξω κόσμου καὶ σαρκὸς ἐγένου, ἀγγελικῇ πολιτείᾳ σου· καὶ νῦν τῶν δεσμῶν λυθέντων, τῶν μακαρίων ἐλπίδων τὸ πέρας ἐδέξω, καὶ πρεσβεύεις Κυρίῳ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. *Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων· νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀναστάσιμον Ἀπολυτίκιον, καὶ τὸ τοῦ Ἁγίου.*

Ἦχος γ'. Θείας πίστεως.

Θείου Πνεύματος, λαβὼν τὴν χάριν, δι' ἀσκήσεως, ἁγίας Πάτερ, ζωῆς θείας ὑπεμφαίνεις τὰς χάριτας· καὶ τοῦ Σωτῆρος θεράπων γενόμενος, γραμματοφόροις βραβεύεις τὰ κρείττονα. Ζήνων Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Θεοτοκίον.*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς Φιλάνθρωπος.

*Ἀπόλυσις.*

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα τὸ Ἀναστάσιμον.*
*Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα τοῦ Ἁγίου.*

*Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Ὡς ἔλιπες σοφῶς, τὰς τοῦ κόσμου φροντίδας, ἀνῆλθες ἐν σπουδῇ, Πάτερ Ζήνων εἰς ὄρος, ἐκεῖθεν δὲ ἀνέδραμες, ἀρετῶν εἰς ἀκρώρειαν, καὶ ὡμίλησας, τῷ ποθουμένῳ ἀΰλως, εἰσδεξάμενος, τὰς παρ᾿ αὐτοῦ ἐπιλάμψεις, ψυχῆς καθαρότητι.

*Δόξα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἐν τάφῳ κατῴκησας, τῇ ἀγαπήσει Χριστοῦ, καὶ πᾶσαν ἐνέκρωσας, τὴν τῶν δαιμόνων ἰσχύν, ζωῆς θείας βέλεσιν· ὅθεν τῆς ἀπαθείας, πλουτισθεὶς τῇ ἐλλάμψει, λύχνος φωτὸς ἐδείχθης, Πάτερ Ζήνων ἐν κόσμῳ, φωτίζων θεοφόρε, τοὺς πίστει προσιόντας σοι.

Καὶ νῦν. *Θεοτοκίον.*

Κυήσασα Ἄχραντε, τὸν Ποιητὴν τοῦ παντός, δι᾿ ἔλεος ἄφατον, ἐκ τῶν αἱμάτων τῶν σῶν, λαβόντα τὸν ἄνθρωπον, ἔβλυσας τοῖς ἐν κόσμῳ, εὐλογίας τὰ ῥεῖθρα· ἔλυσας τῆς κατάρας, τῆς ἀρχαίας τὴν ἔχθραν· διὸ Θεογεννῆτορ, ὑμνοῦμεν τὴν δόξαν σου.

Ἀντὶ τοῦ Ἀμώμου, ὁ Πολυέλεος, μεθ᾿ ὃν τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ τοῦ ἤχου καὶ τὸ Κάθισμα τοῦ Ἁγίου.

www.tezauliturgic.ro

Προσευχαῖς ἀενάοις καθοπλισθείς, καὶ δακρύων τοῖς ῥείθροις καταρδευθείς, ὤφθης Πάτερ Ὅσιε, ὥσπερ φοῖνιξ κατάκαρπος, παρ᾽ ὕδατα τῆς θείας ἀνθήσας ἀσκήσεως, καὶ φέρων τοὺς ἡδίστους, καρποὺς τῶν καμάτων σου· ὅθεν καὶ θαυμάτων, δεδεγμένος τὴν χάριν, παρέχεις τοῖς χρῄζουσι, δωρεὰν τὰ αἰτήματα, Ζήνων σκεῦος τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Θεοτοκίον.*

Τὸν Ὑπέρθεον Λόγον σωματικῶς, Θεοτόκε τεκοῦσα ὑπερφυῶς, τὰ πάλαι τυπούμενα, ἐν τῷ νόμῳ ἐσφράγισας, καὶ μετὰ τόκον πάλιν, παρθένος διέμεινας, μηδόλως λυμανθεῖσα, πυρὶ τῆς Θεότητος· ὅθεν τῷ σῷ τόκῳ, τῶν ἀνθρώπων ἡ φύσις, τυχοῦσα ἧς πέπτωκεν, εὐκληρίας δι᾽ ἔλεος, εὐγνωμόνως κραυγάζει σοι· χαῖρε σωτηρίας ἀρχή, καὶ αἰτία καὶ σεπτὸν κεφάλαιον· χαῖρε σκέπη τοῦ κόσμου, καὶ μέγα προσφύγιον.

*Τὰ ἀντίφωνα τοῦ ἤχου, τὸ Προκείμενον.*

Ὡς συνήθως, καὶ ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, μεθ᾽ ὅ, Ἀνάστασιν Χριστοῦ θεασάμενοι... καὶ ψάλλομεν τό, Ἐλέησόν με ὁ Θεός...

Δόξα. Ταῖς τῶν Ἀποστόλων...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

*Στίχ.* Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου...

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

*Εἶτα οἱ κανόνες, ὁ Ἀναστάσιμος τοῦ τυχόντος ἤχου εἰς δ΄ μετὰ τῶν Εἱρμῶν, καὶ τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς.*

«Ζωῆς Ζήνων τυχὼν θείας χαῖρε. Γερασίμου».

www.tezaurliturgic.ro

Ζωῆς τῆς ἀλήκτου ἐπιτυχών, καὶ αἴγλης ἀΰλου, Πάτερ Ζήνων κατατρυφῶν, δίωξον τὸ νέφος τοῦ νοός μου, ὅπως ἀξίως ὑμνήσω τὴν μνήμην σου.

Ὡς ὄναρ ἡγήσω τὰ ἐπὶ γῆς, τῆς θείας ἀγάπης, ταῖς ἀκτῖσι καταυγασθείς, καὶ χαίρων τοῖς ἴχνεσι Κυρίου, ἀσκητικῶς ἠκολούθησας Ὅσιε.

Ἡλίου τῆς δόξης ἐν τῇ ψυχῇ, τὸ φῶς ὡς ἐδέξω, παθημάτων τὸν σκοτασμόν, διέλυσας Ζήνων θεοφόρε, καὶ ἀρετῶν διαλάμπεις ταῖς πράξεσι.

*Θεοτοκίον.*

Σαρκὸς ὁμοιώματι ἐπὶ γῆς, τὸν ἄσαρκον Λόγον, τετοκυῖα δίχα τροπῆς, βροτῶν τὴν οὐσίαν Θεοτόκε, τῆς τοῦ Ἀδὰμ κατακρίσεως ἔλυσας.

Καταβασίας κατὰ τὴν τυπικὴν διάταξιν.

*Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.*

Ζωηφόροις ἀκτῖσι, τοῦ Παντουργοῦ Πνεύματος, Πάτερ ἀνελθὼν ἐν τῷ ὄρει, σεπτῶς ὡμίλησας, ζήσας ὡς ἄγγελος, καὶ τὴν ψυχὴν ἐκκαθάρας, Ζήνων παμμακάριστε, πόνοις ἀσκήσεως.

Ἡ ζωή σου θεόφρον, περιφανὴς γέγονε, πόνων ἱερῶν λαμπομένη, ταῖς ἀναβάσεσιν· ὅθεν ὁ Κύριος, ὡς φαεινότατον λύχνον, κόσμῳ σε ἀνέδειξε, βίου λαμπρότητος.

Νεκρωθεὶς τοῖς παροῦσι, τῷ πρὸς Θεὸν ἔρωτι, ᾤκησας τὸν τάφον προθύμως, φωτὸς ὡς θάλαμον, Ζήνων μακάριε, καὶ τοῦ ἐχθροῦ τὴν μανίαν, πᾶσαν ἀπενέκρωσας, γνώμης στερρότητι.

*Θεοτοκίον.*

Ὡς πυρίμορφος θρόνος, καὶ χρυσαυγὲς ὄχημα, φέρεις ἐν ἀγκάλαις Παρθένε, τὸν πάντα φέροντα, Χριστὸν τὸν Κύριον· ὅθεν με λύτρωσαι Κόρη, τῶν ἀδίκων δέομαι, χειρῶν τοῦ δράκοντος.

www.tezaurliturgic.ro

### *Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Πόνοις ἀσκήσεως, Πάτερ κατέβαλες, πᾶσαν τὴν δύναμιν, τοῦ πολεμήτορος, καὶ τὰς κινήσεις τῆς σαρκός, ἐμάρανας θεοφόρε· ὅθεν τὰ χαρίσματα, δεδεγμένος τοῦ Πνεύματος, ἅπασι περίβλεπτος, καὶ αἰδέσιμος πέφηνας· καὶ νῦν Χριστὸν ἱκέτευε Ζήνων, δοῦναι ἡμῖν πταισμάτων λύσιν.

### *Θεοτοκίον.*

Τὸν Ὑπερούσιον, Θεὸν κυήσασα, ἐν ὕλῃ σώματος, Ἀδὰμ τὸν ἔκπτωτον, πρὸς τὴν ἀρχαίαν ἀληθῶς, ἀνήγαγες εὐκληρίαν· ὅθεν τῇ κυήσει σου, πᾶσα κτίσις ἀγάλλεται, καὶ βροτοὶ συγχαίρουσι, τοῖς Ἀγγέλοις τῇ δόξῃ σου, βοῶντες ὁμοφώνως Παρθένε· χαῖρε ἡ Κεχαριτωμένη.

### *Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Νόμῳ θείῳ ἑπόμενος, κόσμου τὰ ἡδέα ἐμφρόνως ἔλιπες, τὴν τερπνότητα τοῦ Κτίστου σου, Ζήνων ἐκζητήσας θερμῷ ἔρωτι.

Τῇ νηστείᾳ τὸ σῶμά σου, ἱερῶς στομώσας ξίφος ἀμφίστομον, τοῦτο ἔδειξας μακάριε, τοῦ ἐχθροῦ συγκόπτον τὰ συστήματα.

Ὑψηλὴν τὴν διάνοιαν, ἔχων ταῖς μελέταις ζωῆς τῆς κρείττονος, ταπεινώσει καταβέβληκας, τοῦ ἐχθροῦ τὸ θράσος τὸ μετέωρον.

### *Θεοτοκίον.*

Χαῖρε Κόρη Πανάμωμε, τῶν ἁμαρτανόντων τὸ ἱλαστήριον· χαῖρε σκέπη καὶ κραταίωμα, τῶν εἰλικρινῶς μεγαλυνόντων σε.

### *Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ὤφθης τοῖς ἐχθροῖς, φοβερὸς Πάτερ καὶ ἄληπτος, ὡς σκεπόμενος χειρὶ τῇ τοῦ Θεοῦ, τοῦ δοξάσαντος τὸν βίον σου μακάριε.

Νάματα ζωῆς, ἐκ χειλέων εἰσδεξάμενος, Βασιλείου τοῦ φωστῆρος τοῦ λαμπροῦ, ἀφθαρσίας γεωργεῖς Ζήνων τοὺς στάχυας.

Θαύματα τελῶν, τὴν ὁρμὴν ἐχθρῶν ἀνέστειλας, τὰς ὁράσεις ἀμαυρώσας ἑαυτῶ, [illegible] Ζήνων μακάριε.

www.tezaurliturgic.ro

*Θεοτοκίον.*

Ἔτεκες ἡμῖν, μετὰ σώματος τὸν ἄναρχον, τῆς ἀρχαίας ἐκλυτρούμενον ἀρᾶς, τοὺς κηρύττοντας Ἁγνήν σε Θεομήτορα.

*Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.*

Ἱδρῶσιν ἀσκητικοῖς κατασβέσας, τῶν παθῶν τῶν τυραννούντων τὴν φλόγα, δι᾽ ἐγρηγόρσεως θείας ἀνῆψας, τὴν τῆς ψυχῆς σου λαμπάδα μακάριε, καὶ εἰς νυμφῶνα τῆς ζωῆς, Πάτερ Ζήνων λαμπρῶς προσεχώρησας.

Ἀγάπῃ καὶ ταπεινώσει τελείᾳ, καὶ παντοίων ἄλλων ἔργων ὁσίων, κεκοσμημένος λαμπρῶς ταῖς ἰδέαις, τῆς τῶν Ἀγγέλων εὐκλείας ἠξίωσας, σοφῶς τελέσας ἐπὶ γῆς, Πάτερ Ζήνων ἀγῶνα τὸν κάλλιστον.

Στρατείας τῆς ἐπὶ γῆς ἀλογήσας, ἐστρατεύθης Βασιλεῖ τῶν αἰώνων, καὶ τὰ τοῦ Πνεύματος ὅπλα θεόφρον, ἀναλαβὼν τὸν ἀρχέκακον δράκοντα, κατέβαλες ἀσκητικῶς, καὶ τῆς νίκης ἐδέξω τὸν στέφανον.

*Θεοτοκίον.*

Χειμάζει τῶν λογισμῶν με ἡ ζάλη, καὶ παθῶν τῶν ἀκαθάρτων ὁ κλύδων· ἀλλὰ τῇ σῇ καταφεύγων γαλήνῃ, μὴ αἰσχυνθείην ὁ δοῦλός σου Ἄχραντε· σὺ οὖν τὴν τούτων χαλεπήν, τρικυμίαν εἰς τέλος κατεύνασον.

*Κοντάκιον.*

Ἦχος πλ. β΄. Τὴν ὑπὲρ ἡμῶν.

Τοὺς ἐπὶ τῆς γῆς, ἀγῶνάς σου θεοφόρε, ἡ ἐν οὐρανοῖς, ἐδέξατο εὐφροσύνη, καὶ Ἀγγέλων συνήφθης, τοῖς στρατεύμασιν Ὅσιε, θείας δόξης ἀξιούμενος, καὶ πρεσβεύων τῷ Παντάνακτι, ὑπὲρ πάντων τῶν βοώντων σοι· χαίροις ὦ Ζήνων σοφέ, ἐπιστολέων χαρά.

www.tezaurliturgic.ro

Ἀκολουθήσας τῷ Χριστῷ ὅλῃ ψυχῇ, τῶν ἐν τῷ κόσμῳ ἀγαθῶν, καὶ τῶν ἡδέων καὶ τερπνῶν, τὴν κοινωνίαν καὶ σχέσιν, οἷα σφαλλομένων ἐβδελύξω καὶ ἔλιπες, καὶ ἐστερώθης τῷ ἔρωτι τῶν ἀϊδίων καὶ μενόντων καλῶν, τῆς βασιλείας τῶν οὐρανῶν. Εὐαγγελικῶς γὰρ σαυτὸν ἀπαρνησάμενος, ἀσκητικὴν ζωὴν ἔζησας, νεκρώσας τὸ σῶμα δι' ἐγκρατείας, καὶ λαμπρύνας τὴν ψυχὴν δι' ἀπαθείας· ὅθεν θείων ἐλλάμψεων ἠξιώθης, καὶ θεοσδότων χαρισμάτων ἐπληρώθης, καὶ Ἀγγελικῆς στάσεως ἰσότιμος ὤφθης, πρεσβεύων τῷ Παντάνακτι, ὑπὲρ τῶν βοώντων σοι· χαίροις ὦ Ζήνων σοφέ, ἐπιστολέων χαρά.

## *Συναξάριον.*

Πρῶτον τὸ τῆς ἡμέρας Συναξάριον καὶ εἶτα ὡς ἀκολούθως:

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμην ἐπιτελοῦμεν τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Ζήνωνος, αὐτοκρατορικοῦ Ταχυδρόμου, προστάτου καὶ ἐφόρου πάντων τῶν Ταχυδρομικῶν Ὑπαλλήλων.

*Στίχ.* Ζήσας ὁ Ζήνων ὡς ἄγγελος ἐν κόσμῳ.
Ζωῆς μετέσχε τῆς ἀγήρω ἐν πόλῳ.
Φαίδιμος Ζήνων δεκάτῃ πολύφορβον ἔλιπε γαῖαν.

Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Ζήνων, Καισαρεὺς μὲν ἦν τὸ γένος, τῇ πρὸς Καππαδοκίαν κειμένῃ, γονέων πλουσίων καὶ περιφανῶν υἱός, ἐπὶ τῆς βασιλείας Οὐάλεντος, ἐν ἔτει τξε´ (365). Κατείλεκτο δὲ τοῖς στρατιώταις τοῖς τὰ βασιλικὰ ὀξέως διακομίζουσι γράμματα, ἤγουν ἦν γραμματοφόρος τοῦ αὐτοῦ βασιλέως. Μετὰ τὸν θάνατον τούτου, διανοήσας τὸ ἄστατον καὶ ἐπίκηρον τοῦ βίου, τὴν στρατιωτικὴν ἀποθέμενος ζώνην, καὶ τὴν ἀνατεθεῖσαν αὐτῷ ἀποβαλὼν ὑπουργίαν, ἐν ἑνὶ τῶν πολυανδρίων, (πολλὰ δὲ ἔχει τὸ τῆς Ἀντιόχου πόλεως παρακείμενον ὄρος) εἰσῆλθε, τὴν ψυχὴν ἐκκαθαίρων, οὐ λύχνον, οὐ κιβώτιον, οὐ τράπεζαν, οὐ στρωμνὴν ἔχων· ἡ στρωμνὴ δὲ ἦν αὐτοῦ στιβὰς χόρτων, ἐπὶ λίθων ἐστρωμένη· ἐσθὴς δέ, ῥάκος παλαιόν· τροφὴ δέ, εἷς ἄρτος, ἐπὶ δύο χορηγούμενος ἡμέρας, ὑπὸ φίλου τινός· τὸ δὲ ὕδωρ αὐτὸς ἑαυτῷ πόρρωθεν ὑπεκόμιζεν. Πρὸ δὲ τῆς κουρᾶς καὶ ἀναχωρήσεως αὐτοῦ, τῶν ψυχοτρόφων ναμάτων τῆς τοῦ Μεγάλου Βασιλείου διδασκαλίας ἐτρύφησεν, ἀκροατὴς αὐτοῦ χρηματίσας. Οὗτος, ἐκ τούτων τῶν πόνων, πολλὴν θεόθεν ἐπεσπάσατο χάριν· ἡ γὰρ καταδρομὴ τῶν Ἰσαύρων, πολλὰς σφαγὰς εἰς τοὺς τὴν ἀ-

σκητικὴν πολιτείαν μετιόντας ἐποίησεν· αὐτὸς δὲ εὐχῇ μόνῃ τὰς ἐκείνων ἀπημαύρωσεν ὄψεις. [illegible] μετὰ [illegible] χρόνον, ἐν ἀκροτάτῃ ἀσκήσει, ἀπὸ τῶν καμάτων πρὸς τὴν ἐπουράνιον λῆξιν ἀπῆρε, ἀγγελικαῖς συναριθμηθεὶς χοροστασίαις, καὶ τὸ ἀμήχανον τοῦ Σωτῆρος κάλλος ἀνακεκαλυμμένως ὁρῶν.

www.tezaurliturgic.ro

Οὗτος τυγχάνει βοηθὸς καὶ προστάτης πᾶσι τοῖς Ταχυδρομικοῖς Ὑπαλλήλοις, οἵτινες χρεωστικῶς τὴν ἱερὰν αὐτοῦ τελοῦσι μνήμην, τὴν ταχυτάτην αὐτοῦ βοήθειαν ἐν παντὶ καὶ πάντοτε ἐπικαλούμενοι.

Ταῖς αὐτοῦ πρεσβείαις, Χριστὲ ὁ Θεός, καὶ πάντων σου τῶν Ἁγίων, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

### *Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἀκαθαίρετος πύργος, ταπεινώσεως ὤφθης Ζήνων μακάριε, ἐχθροῦ καταπατήσας, τὸ ἐπηρμένον ὄμμα, καὶ βοῶν τῷ Ποιήσαντι· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἵνα δόξης τῆς ἄνω, κληρονόμος ὀφθήσῃ Ζήνων πανόλβιε, τιμὰς τὰς ἐν τῷ κόσμῳ, καὶ δόξαν ἀπανθοῦσαν, ἀπηρνήσω καὶ ἔψαλλες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ῥώμῃ θείᾳ καθεῖλες, πολεμίων ἀσάρκων Πάτερ τὰς φάλαγγας, ὡς ἄσαρκος ἐν κόσμῳ, ὁρώμενος τοῖς πᾶσι, τῇ συντόνῳ ἀσκήσει σου, δι᾽ ἧς τῆς ἄνω ζωῆς, κατηξιώθης Ζήνων.

### *Θεοτοκίον.*

Ἐσαρκώθη ἀτρέπτως, ἐξ ἁγνῶν σου αἱμάτων ὁ Ὑπερούσιος, καὶ ὤφθη τοῖς ἐν κόσμῳ, διπλοῦς Παρθενομῆτορ, Θεὸς ἅμα καὶ ἄνθρωπος, πρὸς σωτηρίαν Ἁγνή, τῶν σὲ ὑμνολογούντων.

### *Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Γνώμῃ τελείᾳ, καὶ ταπεινώσει καρδίας, ἐθεράπευσας Θεὸν ἐν τῇ ἀσκήσει· ὅθεν τῆς ἀλήκτου, μετέσχες εὐφροσύνης.

Ἐχθρῶν τὰς κόρας, τῇ χάριτί σου τυφλώσας, πᾶσιν ἔδειξας ἣν εὗρες παρρησίαν, πρὸς τὸν Βασιλέα, τῆς δόξης θεοφόρε.

Ῥείθροις δακρύων, παθῶν τοὺς ἄνθρακας σβέσας, δρόσον ἄνωθεν παρέχεις ἰαμάτων, Ζήνων τοῖς αἰτοῦσι, τὴν θείαν σου πρεσβείαν.

www.tezaurliturgic.ro

Ἁγνὴ Παρθένε, Θεοχαρίτωτε Κόρη, τῆς καρδίας μου καταύγασον τὸ ὄμμα, ἵνα τοῦ Βελίαρ, τὰς μεθοδείας βλέπω.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Στεφάνῳ ἀφθαρσίας, παρὰ τοῦ Σωτῆρος, στεφανωθεὶς ὡς τελέσας τὸν δρόμον σου, ἐν μετοχῇ ἐθεώθης Ζήνων Πατὴρ ἡμῶν.

Ἰδὼν ἅπερ ἐπόθεις, λυθεὶς τοῦ σαρκίου, χαῖρε καὶ σκίρτα Χριστῷ παριστάμενος, σὺν τοῖς χοροῖς τῶν Ἀγγέλων Ζήνων μακάριε.

Μονὰς τὰς οὐρανίους, Ζήνων κατοικήσας, μὴ διαλίπῃς πρεσβεύων πρὸς Κύριον, ὑπὲρ ἡμῶν τῶν τελούντων τὴν θείαν μνήμην σου.

Ὁρῶν Χριστοῦ τὴν δόξαν, Ζήνων θεοφόρε, καὶ τῆς χαρᾶς ἀπολαύων τῆς κρείττονος, οἷά περ δῶρον τὸν ὕμνον μου τοῦτον πρόσδεξαι.

*Θεοτοκίον.*

Ὑπέραγνε Μαρία, Κεχαριτωμένη, τῇ χάριτί σου χαρίτωσον δέομαι, τὴν κακωθεῖσαν ψυχήν μου ταῖς παραβάσεσι.

*Ἐξαποστειλάρια.*

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν... καὶ τὸ Ἀναστάσιμον Ἐξαποστειλάριον.

Εἶτα τὸ τοῦ Ἁγίου. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τὴν τῶν Ἀγγέλων Ὅσιε, πολιτείαν ζηλώσας, τὴν κοσμικὴν κατέλιπες, περιφάνειαν πᾶσαν, καὶ ἐγκρατείας τοῖς πόνοις, τὴν ψυχὴν καὶ τὸ σῶμα, ἀποκαθάρας σκήνωμα, ἐνεργείας Τριάδος τῆς παντουργοῦ, Ζήνων θεοφόρε σαφῶς ἐγένου, οὐρανίου μέτοχος, ἐχρημάτισας δόξης.

www.tezaurliturgic.ro

*Θεοτοκίον.*

Θεογεννῆτορ Πάναγνε, τῶν Ἀγγέλων ἡ δόξα, καὶ μέγα καταφύγιον, τῶν ἀνθρώπων καὶ σκέπη, μὴ διαλίπῃς πρεσβεύειν, τῷ Υἱῷ καὶ Θεῷ σου, δοῦναι πταισμάτων ἄφεσιν, καὶ παθῶν θεραπείαν παντοδαπῶν, τοῖς σὲ μεγαλύνουσι Θεοτόκε, καὶ τὸ σεπτόν σου ὄνομα, καθ' ἑκάστην φωνοῦσι.

*Εἰς τοὺς Αἴνους.*

*Ἱστῶμεν στίχους η' καὶ ψάλλομεν Ἀναστάσιμα τοῦ ἤχου δ' καὶ τοῦ Ἁγίου Προσόμοια δ'.*

Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος!

Ζήνων θεόφρον Πατὴρ ἡμῶν, καταυγασθεὶς τὴν ψυχήν, ταῖς ἀκτῖσι τῆς χάριτος, κοσμικῆς τερπνότητος, τὴν ἀχλὺν καταλέλοιπας, καὶ τὸν σταυρόν σου ἀναλαβόμενος, Χριστῷ προθύμως κατηκολούθησας· ὢ τῶν ἀγώνων σου! δι' ὧν καταβέβληκας, τοῦ δυσμενοῦς, πάντα τὰ φρυάγματα, σθένει τοῦ Πνεύματος.

Ζήνων θεόφρον μακάριε, τοῦ θεηγόρου Πατρός, Βασιλείου τοῖς ρήμασι, καὶ σοφοῖς διδάγμασι, τὴν ψυχὴν ἀνεπτέρωσας, πρὸς τὴν ἀγάπην τοῦ Παντοκράτορος, καὶ ἐν τῷ κόσμῳ ὤφθης ὡς ἄγγελος, βίον ἀσώματον, διανύσας Ὅσιε· ὅθεν Χριστός, λαμπρῶς σε ἐδόξασε, πλουσίαις χάρισι.

*Στίχ.* Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Ζήνων θεοφόρε Ὅσιε, ἀνατεθεὶς τῷ Θεῷ, ἐν τῷ ὄρει προσέδραμες, ὅλος ἐνθεώτατος, καὶ ἐν τάφῳ κατῴκησας· ἔνθεν ταμεῖον ὤφθης τῆς χάριτος, τοῦ Παρακλήτου πολλῇ ἀσκήσει σου, νέμων ἑκάστοτε, δαψιλῆ βοήθειαν, τοῖς κομισταῖς, τῶν γραμμάτων Ἅγιε, ὡς συμπαθέστατος.

*Στίχ.* Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον...

Ζήνων θεοφόρε Ὅσιε, θαυμαστωθεὶς ἐκ Θεοῦ, ἐν παντὶ περιβόητος, ὤφθης καὶ αἰδέσιμος, τοῖς πολλοῖς σου χαρίσμασι, καὶ ἐπελθόντων ἐχθρῶν κατέλυσας, θείᾳ δυνάμει θράσος πολέμιον· ὅθεν ἱκέτευε, κομισταῖς μακάριε, δοῦναι ἀεί, ἄνωθεν βοήθειαν, γραμμάτων Ἅγιε.

www.tezaurliturgic.ro

*Δόξα. Ἦχος πλ. α'.*

Τὸ τῆς ἀσκήσεως στάδιον, θεοπρεπῶς τελέσας, τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἐδέξω Πάτερ· τῷ γὰρ θείῳ πόθῳ, τὸ χεῖρον ὑπέταξας, ἐν τῇ ἀγάπῃ τοῦ Σωτῆρος ζῶν, καὶ τῶν μελλόντων ἀγαθῶν, ἀνατυπούμενος τὸ κάλλος· καὶ νῦν αὐτῶν ἀμέσως μετέχων, καὶ τοῦ ξύλου τῆς ζωῆς ἀπολαύων, πρέσβευε ὑπὲρ ἡμῶν, Ζήνων Ὅσιε, τῶν τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. *Θεοτοκίον.*

Ὑπερευλογημένη ὑπάρχεις...

*Δοξολογία μεγάλη καὶ ἀπόλυσις.*


www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Τὰ τυπικά, οἱ Μακαρισμοί, Ἀναστάσιμα δ΄ καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ ᾠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον τῆς Κυριακῆς, τοῦ δὲ Ὁσίου ζήτει τοῦ Ἁγίου Σάββα, ε΄ Δεκεμβρίου.*

*Κοινωνικά. Αἰνεῖτε τὸν Κύριον,...*
Εἰς μνημόσυνον αἰώνιον...

*Μεγαλυνάριον.*

Χαίροις θεοφόρε Ζήνων σοφέ, ἀρετῶν ὁσίων, ὑποτύπωσις ἀληθής· χαίροις ὁ παρέχων, πιστοῖς γραμματοφόροις, τῆς ἀρωγῆς σου Πάτερ, τὰς θείας χάριτας.

*Δίστιχον.*
*Ζωῆς με Ζήνων ἀξίωσον τῆς θείας*
*Γεράσιμον ὑμνοῦντα τὴν βιοτήν σου.*

*Τύποις «ΖΩΗΣ», Ἱπποκράτους 189, Ἀθῆναι 708.*